Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: hlw-aa

*Δημάδης ὁ Παιανιεύς* · Demades of Paeania

# In Defense of the Twelve Years

*Ὑπὲρ τῆς δωδεκαετίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Συναγωγή* Collection

1 ARISTOT. rhet. II 24, 1401 B 29: ἄλλος (sc. τόπος τῶν φαινομένων ἐνθυμημάτων) παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο λαμβάνουσιν, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις, οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν · με τ ’ ἐκείνην γὰρ συνέβη ὁ πόλεμο ς .

2 DEMAD. exc. palat. 14 Haupt: ‘ ταῦτα λέγων τὸν τοῦ πολέμου πυρσὸν αἴρε ι , καὶ ὁ πολέμιος ἐπὶ τῶν πυλῶν στρατοπεδεύει ‘ .

3 DEMAD. n. 11 Diels p. 114: ὁ αὐτὸς ἔφησεν· ‘ ὥσπερ τὸ τῆς Ἑλένης κάλλος ἐ π ’ ἀπωλείᾳ τῶν ἡρώων ἐγίνετ ο , οὕτω καὶ ἡ τοῦ Δημοσθένους ἐν τῷ λέγειν δύναμις ἐ π ’ ἀπωλείᾳ τῆς Ἑλλάδος ηὐξήθη ‘ .

4 LUCIAN. Demosth. laud. 15: οὐ γὰρ ὡς τὸν Αἰσχύλον ὁ Καλλισθένης ἔφη που λέγων τὰς τραγῳδίας ἐν οἴνῳ γράφειν ἐξορμῶντα καὶ ἀναθερμαίνοντα τὴν ψυχήν, οὐχ οὕτως ὁ Δημοσθένης συνετίθει πρὸς μέθην τοὺς λόγους ἀλλ’ ὕδωρ πίνων· ᾗ καὶ τὸν Δημάδην παῖξαί φασιν εἰς ταύτην αὐτοῦ τὴν ὑδροποσίαν, ὡς οἱ μὲν ἄλλοι πρὸς ὕδωρ λέγοιε ν , τὸν Δημοσθένην δὲ πρὸς ὕδωρ γράφει ν .

5 DEMAD. n. 1 Diels p. 108: Δημάδης ψήφισμα γράψας παράνομον καὶ εὐθυνόμενος ὑπὸ Λυκούργου, ἐρωτήσαντος αὐτὸν ἐκείνου εἰ ὅτε ἔγραψε τὸ ψήφισμα οὐκ ἐνέβλεπεν εἰς τοὺς νόμους, ‘ οὐκ ἐνέβλεπο ν , ἔφησεν, ἐπεσκότει γὰρ αὐτοὺς τὰ Μακεδόνων ὅπλα ‘ .

6 PLUT. de tuenda san. pr. 9, 126 D: ὁ Δημάδης πολεμικοὺς ἀκαίρως τοὺς Ἀθηναίους ὄντας ἔλεγε μηδέποτε χειροτονεῖν εἰρήνην ἄνευ μελάνων ἱματίω ν .

7 DEMAD. exc. palat. 21 Haupt: ‘ εἰρήνην δεῖ καὶ οὐ λόγον ἀντιτάττειν τῇ τῶν Μακεδόνων φάλαγγι · ἄπρακτος γὰρ ἡ σπουδὴ τοῦ λόγου τῶν ἐλάττονα τῆς βουλήσεως ἐχόντων τὴν δύναμιν ‘ .

8 PLUT. reg. et imp. apophth. 191 E = apophth. lac. 216 C: ὁ δὲ νεώτερος Ἆγις, Δημάδου λέγοντος ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιο ί , ‘καὶ μήν‘, ἔφη, ‘μάλιστα οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται‘. PLUT. v. Lyc. 19, 4: Ἆγις μὲν οὖν ὁ βασιλεύς, σκώπτοντος Ἀττικοῦ τινος τὰς Λακωνικὰς μαχαίρας εἰς τὴν μικρότητα, καὶ λέγοντος ὅτι ῥᾳδίως αὐτὰς οἱ θαυματοποιοὶ καταπίνουσιν ἐν τοῖς θεάτροις, ‘καὶ μὴν μάλιστα‘, εἶπεν, ‘ἡμεῖς ἐφικνούμεθα τοῖς ἐγχειριδίοις τῶν πολεμίων‘.

9 PLUT. v. Cleom. 27 [48], 2: καὶ Δημάδης, τὰς τριήρεις μὲν καθέλκειν καὶ πληροῦν ποτε τῶν Ἀθηναίων κελευόντων, χρήματα δ’ οὐκ ἐχόντων, ‘ πρότερόν ἐστι ν , ἔφη, τοῦ πρωρατεῦσαι τὸ φυρᾶσαι ‘ .

10 PLUT. pr. rei publ. ger. 25, 818 E: οὐ χεῖρον δὲ καὶ μετάγειν ἐπ’ ἄλλα χρειώδη τὸ σπουδαζόμενον, ὡς ἐποίησε Δημάδης, ὅτε τὰς προσόδους εἶχεν ὑφ’ ἑαυτῷ τῆς πόλεως· ὡρμημένων γὰρ ἐκπέμπειν τριήρεις βοηθοὺς τοῖς ἀφισταμένοις Ἀλεξάνδρου καὶ χρήματα κελευόντων παρέχειν ἐκεῖνον, ‘ ἔστιν ὑμῖ ν . ἔφη, χρήματα · παρεσκευασάμην γὰρ εἰς τοὺς Χόα ς , ὥσ θ ’ ἕκαστον ὑμῶν λαβεῖν ἡμιμναῖον · εἰ δ ’ εἰς ταῦτα βούλεσθε μᾶλλο ν , αὐτοὶ καταχρῆσθε τοῖς ἰδίοισ ‘ · καὶ τοῦτον τὸν τρόπον, ὅπως μὴ στεροῖντο τῆς διανομῆς, ἀφέντων τὸν ἀπόστολον, ἔλυσε τὸ πρὸς Ἀλέξανδρον ἔγκλημα τοῦ δήμου.

11 DEMAD. n. 2 Diels p. 109: ὁ αὐτὸς οὐ θελόντων Ἀθηναίων τιμᾶν Ἀλέξανδρον ὡς θεόν, ‘ δέδι α , φησίν, ὦ ἄνδρε ς , ὡς μὴ τοῦ οὐρανοῦ φθονοῦντος Ἀλεξάνδρῳ στάντων ἢ τού τ ἀφαιρεθῆτε καὶ ὑ π ’ αὐτοῦ ‘ .

12 DEMETR. π. ἑρμην. §284: τοῦ δὲ αὐτοῦ εἴδους καὶ τὸ ‘[ὅτι] τοῦτο τὸ ψήφισμα οὐκ ἐγὼ ἔγραψα ἀλ λ ’ ὁ πόλεμος τῷ Ἀλεξάνδρου δόρατι γράφων ‘ .

13 DEMAD. exc. palat. 19 Haupt: ‘ πολέμιον κῦμα καὶ Μακεδονικὸν πῦρ εἰς τὴν Ἀττικὴν ὑποδέχεσθαι ἦν οὐ καλό ν , οὐδὲ σιωπᾶν καὶ καρτερεῖν ὁρῶντα καταδυομένην ὥσπερ ναῦν τὴν πόλιν ‘ .

14 DEMAD. exc. palat. 27 Haupt: ‘ οὐκ ἐγὼ ταῦτα συνεβούλευο ν , ἀλ λ ’ ἡ πατρί ς , ὁ καιρό ς , τὰ πράγματα διὰ τῆς ἐμῆς φωνῆς ἠξίου ταῦτα πράττειν · οὐ δίκαιον οὖν τὸν σύμβουλον καιρῶν εὐθύνας ὑπέχειν καὶ ὧν ἐν τῇ τύχῃ τὸ τέλοσ ‘ .

15 DEMETR. π. ἑρμην. §284: ‘ ἔοικε γὰρ ἡ Μακεδονικὴ δύναμι ς , ἀπολωλεκυῖα τὸν Ἀλέξανδρο ν , τῷ Κύκλωπι τετυφλωμένῳ ‘ . PLUT. v. Galb. 1 Δημάδης μὲν γὰρ Ἀλεξάνδρου τελευτήσαντος εἴκαζε τὴν Μακεδόνων στρατιὰν ἐκτετυφλωμένῳ τῷ Κύκλωπι, πολλὰς κινουμένην ὁρῶν κινήσεις ἀτάκτους καὶ παραφόρους. PLUT. reg. et imp. apophth. 181 F: τελευτήσαντος δὲ αὐτοῦ [ sc. Ἀλεξάνδρου] Δημάδης ὁ ῥήτωρ ὅμοιον ἔφη διὰ τὴν ἀναρχίαν ὁρᾶσθαι τὸ στρατόπεδον τῶν Μακεδόνων ἐκτετυφλωμένῳ τῷ Κύκλωπ ι .

16 LEX. SUDA s. v. Δημάδης: λόγους δὲ διδοὺς ἀρχῆς θορυβηθεὶς ἀπεδήμησεν, ‘ οὔτε ἑαυτῶ ν , εἰπών, ἐστὲ κύριο ι , οὔτε ἐμοῦ ‘ .

17 PLUT. v. Phoc. 1: Δημάδης ὁ ῥήτωρ ἰσχύων μὲν ἐν ταῖς Ἀθήναις διὰ τὸ πρὸς χάριν πολιτεύεσθαι Μακεδόνων καὶ Ἀντιπάτρου, πολλὰ δὲ γράφειν καὶ λέγειν ἀναγκαζόμενος παρὰ τὸ ἀξίωμα τῆς πόλεως καὶ τὸ ἦθος, ἔλεγε συγγνώμης ἄξιος εἶναι πολιτευόμενος τὰ ναυάγια τῆς πόλεω ς . PLUT. pr. rei publ. ger. 6, 803 A δέχεται δ’ ὁ πολιτικὸς λόγος δικανικοῦ μᾶλλον καὶ γνωμολογίας καὶ ἱστορίας καὶ μύθους καὶ μεταφοράς, αἷς μάλιστα κινοῦσιν οἱ χρώμενοι μετρίως καὶ κατὰ καιρόν· ὡς ... Δημάδης τὰ ναυάγια λέγων πολιτεύεσθαι τῆς πόλεω ς .

18 DEMETR. π. ἑρμην. § 285: ‘ παρέλαβον πόλι ν , οὐ τὴν ἐπὶ τῶν προγόνων τὴν ναύμαχο ν , ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφῶσαν ‘ · τὸ μὲν γὰρ γραῦν ἀλληγοροῦν ἀντὶ τοῦ ἀσθενῆ καὶ ἐξίτηλον ἤδη, καὶ ἅμα ἐμφαῖνον τὴν ἀδρανίαν αὐτῆς ὑπερβολικῶς· τὸ δὲ πτισάνην ῥοφῶσα ν , ἐπεὶ ἐν κρεανομίαις τότε καὶ πανδαισίαις διάγουσαν ἀπολλύειν τὰ στρατιωτικὰ χρήματα.

19 PLUT. v. Demosth. 13, 3: Δημάδης ἀπολογούμενος τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν, αὑτῷ μὲν αὐτὸς τἀναντία πολλάκις εἰρηκένα ι , τῇ δὲ πόλει μηδέποτ ε .

20

Eulogikon public reading copy · View original HTML at eulogikon.org

DEMAD. n. 5 Diels p. 111: ὁ αὐτὸς θορυβούμενος ὑπὸ τοῦ δήμου, ' ὦ δῆμ ε , φησί, μᾶλλον δὲ δήμι ε , οἶδα γὰρ ὅτι οὐδένα ὑμεῖς ἐσιτίσατ ε , ὃν οὐ κατεκόψατε ' .

21 DEMAD. n. 12 Diels p. 114: ὁ αὐτὸς ἐν ἐκκλησίᾳ θροούμενος εἶπεν ' οὐκ ἐμὲ ἐκωλύσατε λέγειν ἀλ λ ' ἑαυτοὺς ἀκούειν ' .

22 Aesop. fab. 96 Chambry, 117 Halm, 63 Perry: Δημάδης ὁ ῥήτωρ δημηγορῶν ποτε ἐν Ἀθήναις ἐκείνων μὴ πάνυ τι αὐτῷ προσεχόντων, ἐδεήθη αὐτῶν ὅπως ἐπιτρέψωσιν αὐτῷ Αἰσώπειον μῦθον εἰπεῖν. τῶν δὲ συγχωρησάντων αὐτῷ, ἀρξάμενος ἔλεγε· ' Δήμητρα καὶ χελιδὼν καὶ ἔγχελυς τὴν αὐτὴν ὁδὸν ἐβάδιζον · γενομένων δὲ αὐτῶν κατά τινα ποταμό ν , ἡ μὲν χελιδὼν ἔπτ η , ἡ δὲ ἔγχελυς κατέδυ ' · καὶ ταῦτα εἰπὼν ἐσιώπησεν. ἐρομένων δὲ αὐτῶν 'ἡ οὖν Δήμητρα τί ἔπαθεν;' ἔφη· ' κεχόλωται ὑμῖ ν , οἵτινες τὰ τῆς πόλεως πράγματα ἐάσαντες Αἰσώπειον μῦθον ἀκούειν ἀνέχεσθε ' .

23 Plut. v. Sol. 17, 3: διὸ Δημάδης ὕστερον εὐδοκίμησεν εἰπὼν ὅτι δ ι ' αἵματος οὐ διὰ μέλανος τοὺς νόμους ὁ Δράκων ἔγραψε ν . TZETZ. Chil. V 342 sqq.: πρῶτος ὁ Δράκων γέγονεν Ἀθήναις νομογράφος ἅπασι τοῖς ἐγκλήμασιν μέχρι κλοπῆς λαγχάνων φόνον τὸ ἐπιτίμιον ἀνηλεῶς ὁρίζων· διὸ Δημάδης ὕστερον ῥήτωρ ὡραῖος κάλλει, πολὺ δὲ ὡραιότερος ἀποφθεγμάτων λόγοις, μεγάλως εὐδοκίμησεν ἐν κριτηρίῳ λέξας· ' ἔοικε ν , ἄνδρες δικαστα ί , Δράκων ὁ νομογράφος οὐ μέλαν ι , δ ι ' αἵματος τοὺς νόμους δὲ χαράξαι ' .

24 PS. DEMAD. ὑπ. τ. δωδ. § 1: ' οὔτε δὲ ἰατρὸς ἐμπείρως δύναται θεραπεῦσαι τοὺς κάμνοντα ς , ἐὰν μὴ τὴν αἰτίαν τοῦ νοσήματος κατανοήσ ῃ , οὔτε δικαστὴς ὁσίαν θεῖναι τὴν ψῆφο ν , ἐὰν μὴ τοῖς τῆς κρίσεως δικαίοις σαφῶς ᾖ παρηκολουθηκώσ ' .

25 PS. DEMAD. ὑπ. τ. δωδ. § 2: ' τὴν Ἀττικὴν ἐτείχισα τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις ἀλλὰ τῇ τῆς πόλεως ἀσφαλείᾳ ' .

26 PS. DEMAD. ὑπ. τ. δωδ. § 3: ' ὥσπερ γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος τὴν ὅρασιν συγχέασα κωλύει τὰ ἐμποδὼν κείμενα θεωρεῖ ν , οὕτως ἄδικος παρεισδύνων λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ ἐᾷ δ ι ' ὀργὴν συνορᾶν τὴν ἀλήθειαν ' .

27 POLL. onom. VII 104: ἀργυράγχ η , ὡς Δημάδης σκώπτων Δημοσθένη συνάγχῃ λέγοντα εἰλῆφθαι καὶ ἐπὶ τοῖς ἀργυρίοις σιωπῶντα.

28 ATHEN. III 99 D: Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε ... τὴν .. . Σάμον ἀπώρυγα τῆς πόλεω ς . PHILOD. voll. rhet. I 181, 11 Sudh. (. IV. pap. erc. 1007/1673, col. 22]: .... Τ ..... ΑΙ Σάμον ὡς τὸ [π]ά[λαι ἀπώ]ρυγα τῆς π[ό] λεω[ς], [τὴν δ'] Α[ἴγιν]αν ὥσπε[ρ λήμην] τοῦ [Π]ειραιέως καὶ [οὕ τως π]αραπλήσι[α (suppl. UsenerNissen).

29 PAP. BEROL. 13045, v. 246 sq., ed. KUNST, Berl. Klassikert. VII p. 25: ' ἡ δ ' ἡμετέρα πόλις .. . τὸ μέγιστον τῆς Ἑ [λ ]λάδος σκάφοσ ' .

30 ATHEN. III 99 D: (Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε) ... τὸ δὲ τεῖχος ἐσθῆτα τῆς πόλεω ς .

31 ATHEN. III 99 D: (Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε) ... τὸν δὲ σαλπικτὴν κοινὸν Ἀθηναίων ἀλέκτορ α .

32 DEMAD. exc. palat. 57 Haupt: ' ἑτερόφθαλμος γέγονεν ἡ Ἑλλὰς τῆς τῶν Θηβαίων ἀναιρεθείσης πόλεωσ ' .

33 PS. DEMAD. ὑπ. τ. δωδ. §13: ' τῷ γὰρ Ἐπαμινώνδου σώματι συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων ὁ καιρόσ ' .

34 DEMAD. exc. palat. 31 Haupt: ' πολεμίῳ πυρὶ τὴν Ἑλλάδα περιέλαμψεν ' .

35 GNOMOL. COD. SCORIAL. I—X—13, f. 283 v : Δημάδου. ' κρατίστη δημοκρατί α , ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον · τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμο ς , τοῖς δὲ ἐλευθέροις ὁ νόμος ἀνάγκη ' .

36 PLUT. plat. qu. 4, 1011 B: ... εἰ μὴ καὶ τοῦ φορτίου τὸν ἱμάντα καὶ τοῦ βιβλίου τὴν κόλλαν ἀξιοῦσι μέρος εἶναι, καὶ τὰς διανομὰς τοῦ πολιτεύματος, ὡς ἔλεγε Δημάδης, κόλλαν ὀνομάζων τὰ θεωρικὰ τῆς δημοκρατία ς .

37 STOB. flor. 74, 56: Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶνα ι .

38 A. MELISS. ed. Migne, PG 136, 953 A. CHORIC. GAZ. Tyrann. 36, ed. Foerster—Richts. p. 294, 10 sqq.: ‘ τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον ἢ παραπεσοῦσαν ἰασαμένοι ς . [τοῦ γὰρ ἀπηλλάχθαι κακοῦ τὸ μὴ πάσχειν αἱρετώτερον]‘.

39 A. MELISS. ed. Migne, PG 136, 924 C: ‘ ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζετα ι , τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται ‘ .

40 DIOD. SIC. X 9, 1: ὁ Πυθαγόρας πρὸς τοῖς ἄλλοις παρήγγελλε τοῖς μανθάνουσι σπανίως μὲν ὀμνύναι, χρησαμένους δὲ τοῖς ὅρκοις πάντως ἐμμένειν καὶ πρὸς τέλος ἄγειν ὑπὲρ ὧν ἄν τις ὀμόσῃ πραγμάτων, οὐχ ὁμοίαν ἀπόφασιν ποιούμενος Λυσάνδρῳ τε τῷ Λάκωνι καὶ Δημάδῃ τῷ Ἀθηναίῳ, ὧν ὁ μὲν ἀπεφαίνετο τοὺς μὲν παῖδας δεῖν ἐξαπατᾶν τοῖς ἀστραγάλοις, τοὺς δὲ ἄνδρας τοῖς ὅρκοις, ὁ δὲ διαβεβαιούμενος ὅτι δεῖ τὸ λυσιτελέστατον ὥσπερ ἐπὶ τῶν ἄλλω ν , οὕτω καὶ ἐπὶ τῶν ὅρκων αἱρεῖσθαι · ὁρᾶν δὲ τὸν ἐπιορκήσαντα παραχρῆμα ταῦ τ ’ ἔχοντα περὶ ὧν ὤμοσ ε , τὸν δ ’ εὐορκήσαντα φανερῶς τὸ ἴδιον ἀπολλύντ α .

41 DEMAD. n. 6 Diels p. 111: ὁ αὐτὸς εἶπε τὴν ἐπιτίμησιν τοῖς ἀνθρώποις ἔμψυχον μάστιγ α .

42 PAP. BEROL. 13045, v. 83 sq., KUNST p. 19: ‘ ὑποβρύχιον .. . τὸ σκάφος καταπινόμενον ‘ .

43 DEMAD. exc. palat. 55 Haupt: ‘ ὑποβρύχιον ὤσειν μ ’ ὑπολαμβάνουσιν ‘ .

44 AELIAN. v. h. XIV 10: προείλοντο τοῦ Φωκίωνος Ἀθηναῖοι τὸν Δημάδην στρατηγεῖν. ὁ δὲ προτιμηθεὶς καὶ μέγα φρονῶν, προσελθὼν τῷ Φωκίωνι, ‘ χρῆσόν μο ι , ἔφη, τὴν ῥυπαρὰν χλαμύδ α , ἣν εἰώθεις φορεῖν παρὰ τὴν στρατηγίαν ‘ . καὶ ὃς ‘οὐδέποτε‘ εἶπεν ‘οὐδενὸς ῥυπαροῦ σὺ ἀπορήσεις, ἔστ’ ἂν ᾖς τοιοῦτοσ‘.

45 PLUT. v. Phoc. 20: εἰπόντος δὲ τοῦ Δημάδου πρὸς αὐτόν· ‘ τί οὐ πείθομε ν , ὦ Φωκίω ν , Ἀθηναίους τὴν Λακωνικὴν προσδέξασθαι πολιτεία ν ; ἐὰν γὰρ σὺ κελεύῃ ς , ἐγὼ γράφειν καὶ λέγειν ἕτοιμός εἰμι ‘ , ‘πάνυ γοῦν‘, ἔφη, ‘πρέψειεν ἄν σοι μύρου τοσοῦτον ὄζοντι καὶ χλανίδα τοιαύτην φοροῦντι συμβουλεύειν Ἀθηναίοις περὶ φιλιτίων καὶ τὸν Λυκοῦργον ἐπαινεῖν‘.

46 PLUT. de cup. div. 5, 525 BC: ὁ γοῦν Δημάδης ἐπιστὰς ἀριστῶντί ποτε Φωκίωνι καὶ θεασάμενος αὐτοῦ τὴν τράπεζαν αὐστηρὰν καὶ λιτήν, ‘ θαυμάζω ς ’ ὦ Φωκίω ν , εἶπεν, ὅτι οὕτως ἀριστᾶν δυνάμενος πολιτεύῃ ‘ .

47 PLUT. pr. ger. rei publ. 14, 811 A: χαριέντως δὲ καὶ ὁ Φωκίων, τοῦ Δημάδου κεκραγότος ‘ Ἀθηναῖοί σε ἀποκτενοῦσιν ‘ , ‘ἄν γε μανῶσιν‘, ἔφη, ‘σὲ δέ, ἂν σωφρονῶσι‘. MAXIM. CONF. l. comm. p. 619 Comb. (Migne PG 91, 888 AB): Φωκίωνός ποτε τοῦ Ἀθηναίου δημηγοροῦντος οὐ τὰ πρὸς χάριν ἀλλὰ τὰ πρὸς ὠφέλειαν τοῖς Ἀθηναίοις, Δημάδου δὲ τοῦ ῥήτορος εἰρηκότος αὐτῷ ‘ ἀποκτενοῦσί σε ὦ Φωκίων ὁ δῆμος ἢν μανῶσι ‘ , ‘σὲ δέ‘, εἶπεν, ‘ἂν σωφρονῶσιν‘.

48 DIOD. SIC. XVI 87 (a. 338): λέγουσι δέ τινες ὅτι καὶ παρὰ τὸν πότον πολὺν ἐμφορησάμενος [ sc. Philippus] ἄκρατον καὶ μετὰ τῶν φίλων τὸν ἐπινίκιον ἄγων κῶμον διὰ μέσων τῶν αἰχμαλώτων ἐβάδιζεν ὑβρίζων διὰ λόγων τὰς τῶν ἀκληρούντων δυστυχίας. Δημάδην δὲ τὸν ῥήτορα κατ’ ἐκεῖνον τὸν καιρὸν ἐν τοῖς αἰχμαλώτοις ὄντα χρήσασθαι παρρησίᾳ καὶ λόγον ἀποφθέγξασθαι δυνάμενον ἀναστεῖλαι τὴν τοῦ βασιλέως ἀσέλγειαν. φασὶ γὰρ εἰπεῖν αὐτόν· ‘ βασιλε ῦ , τῆς τύχης σοι περιθείσης πρόσωπον Ἀγαμέμνονος αὐτὸς οὐκ αἰσχύνῃ πράττων ἔργα Θερσίτο υ ; ‘ .

49

Eulogikon public reading copy · View original HTML at eulogikon.org

STOB. flor. 54, 47 = PS. PLUT. de nobil. 2: Δημάδης ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου καὶ συσταθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου ‘ποῦ ἡ εὐγένεια καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως;‘ ‘ ἔγνως ἄ ν , ἔφη, ὦ βασιλε ῦ , τὴν τῆς πόλεως δύναμι ν , εἰ Ἀθηναίων μὲν Φίλιππο ς , Μακεδόνων δὲ Χάρης ἐστρατήγει ‘ .

50 MAXIM. CONF. l. comm. p. 619 Comb. (Migne PG 91, 888 C): Δημάδου πρεσβεύοντός ποτε ὑπὲρ Ἀθηναίων πρὸς Φίλιππον καὶ παρρησίᾳ διαλεγομένου, ὁ Φίλιππος ‘οὐ φοβοῦ μὴ τὴν κεφαλήν σου‘, ἔφη, ‘προστάξω ἀφαιρεθῆναι;‘· ‘ ο ὔ , φησίν, ἐὰν γὰρ σύ μου ταύτην ἀφέλῃ ς , ἡ πατρίς μοι αὐτὴν ἀθάνατον ἀναθήσει ‘ .

51 PLUT. v. Demosth. 23, 6 (a. 335): βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν, εἴτε τῇ φιλίᾳ πιστεύων εἴτε προσδοκῶν μεστὸν εὑρήσειν ὥσπερ λέοντα φόνου κεκορεσμένο ν .

52 SCHOL. AESCH. III 159 (p. 342 Schultz): μετὰ τὴν Θηβαίων κατασκαφὴν ἐξῄτησεν Ἀλέξανδρος τοὺς ῥήτορας· ὁ δὲ δῆμος ἔπεμψε Δημάδην παραιτησόμενον αὐτούς. ὁ δὲ τοῦτο εἰπὼν ἔπεισεν ὅτι ‘ ἔασον αὐτοὺς Ἀθήνησι ῥητορικῷ θανάτῳ ἀποθανεῖν ‘ .

53 DEMETR. π. ἑρμην. § 283 (a. 323): ‘ οὐ τέθνηκεν Ἀλέξανδρο ς , ὦ ἄνδρες Ἀθηναῖοι · ὦζε γὰρ ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ ‘ . τὸ μὲν γὰρ ὦζεν ἀντὶ τοῦ ᾐσθάνετο ἀλληγορικὸν καὶ ὑπερβολικὸν ἅμα, τὸ δὲ τὴν οἰκουμένην αἰσθάνεσθαι ἐμφατικὸν τῆς δυνάμεως τῆς Ἀλεξάνδρου, καὶ ἅμα δέ τι ἐκπληκτικὸν ἔχει ὁ λόγος ἠθροισμένον ἐκ τῶν τριῶν· πᾶσα δὲ ἔκπληξις δεινόν, ἐπειδὴ φοβερόν. GREG. COR. in Herm. VII 1181, 1 Walz: ἡ περιβολὴ τριχῶς γίνεται, ἢ ἐξ ἐμφάσεως ἢ ἐξ ἀλληγορίας ἢ ἐξ ὑπερβολῆς ... συνάμα δὲ ἀπὸ τῶν τριῶν, ὡς τὸ ‘ οὐ τέθνηκεν Ἀλέξανδρο ς , ὦ ἄνδρε ς , ὦζε γὰρ ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ ‘ , τουτέστιν ᾐσθάνετο τῆς δυνάμεως ἐκείνου, ὅπερ ἀλληγορία ἐστὶ καὶ ἐμφαντικὸν καὶ ὑπερβολικόν, ἅμα δὲ καὶ ἐκπληκτικόν τι ἔχει ὁ λόγος ἠθροισμένων τῶν τριῶν. PLUT. v. Phoc. 22: πρώτου δὲ Ἀθηναίοις Ἀσκληπιάδου τοῦ Ἱππάρχου τεθνάναι προσαγγείλαντος Ἀλέξανδρον, ὁ μὲν Δημάδης ἐκέλευε μὴ προσέχειν · πάλαι γὰρ ἂν ὅλην ὄζειν νεκροῦ τὴν οἰκουμένη ν .

54 PLUT. v. Demosth. 11, 5: ἐν δὲ ταῖς παρὰ τὸν καιρὸν ἀπαντήσεσιν ἐχρῆτο [ sc. Demosthenes] καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ εἰπόντος ‘ ἐμὲ Δημοσθένη ς , ἡ ὗς τὴν Ἀθηνᾶν ‘ [LEUTSCH, Paroem. II 704], ‘αὕτη‘, εἶπεν, ‘ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ μοιχεύουσα ἐλήφθη‘. PLUT. pr. ger. rei publ. 7, 803 D: καὶ πρὸς Δημάδην βοῶντα ‘ Δημοσθένης ἐμὲ βούλεται διορθοῦν · ἡ ὗς τὴν Ἀθηνᾶν ‘ , ‘αὕτη μέντοι πέρυσιν ἡ Ἀθηνᾶ μοιχεύουσα ἐλήφθη‘.

55 PLUT. v. Phoc. 30: Δημέᾳ δὲ τῷ υἱῷ νύμφην ἀγόμενος, ‘ ἐμοῦ μέ ν , εἶπεν, ὦ πα ῖ , τὴν σὴν μητέρα γαμοῦντος οὐδὲ ὁ γείτων ᾔσθετο · τοῖς δὲ σοῖς γάμοις καὶ βασιλεῖς καὶ δυνάσται συγχορηγοῦσιν ‘ .

56 DEMAD. n. 10 Diels p. 113: ὁ αὐτὸς ὀνειδιζόμενος καθότι ἕνα μόνον υἱὸν ἔθρεψεν, εἶπεν ‘ ἕνα κρεῖττόν ἐστι τριηράρχην ἢ δέκα κωπηλάτας καταλιπεῖν ‘ .

57 STOB. flor. 4, 69 [Lh. fr. 26; S. fr. 23; M. fr. 20]: Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖ ς , ὧν εἴ τις ἀφέλοι τὴν γλῶττα ν , τὸ λοιπὸν οὐδέν ἐστι ν .

58 DEMADIS EPISTULA AD PERDICCAM MISSA (a. 321): PLUT. v. Demosth. 31, 5: γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ [ sc. Demadis], δι’ ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ καὶ σῴζειν τοὺς Ἕλληνας ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος —λέγων τὸν Ἀντίπατρον— ἠρτημένου ς . ARRIAN. hist. succ. Alex. ap. PHOT. bibl. cod. 92 = fr. I 14 Roos: ἔγραψε Περδίκκᾳ σῴζειν τοὺς Ἕλληνας ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος ἠρτημένου ς , οὕτως τὸν Ἀντίπατρον ἐπιχλευάζων. PLUT. v. Phoc. 30: Κάσανδρος δὲ τῶν πραγμάτων ἐγκρατὴς γεγονὼς εὗρεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιστολὴν Δημάδου γεγραμμένην πρὸς Ἀντίγονον εἰς Ἀσίαν, παρακαλοῦντος αὐτὸν ἐπιφανῆναι τοῖς περὶ τὴν Ἑλλάδα καὶ Μακεδονίαν ἐκ παλαιοῦ καὶ σαπροῦ κρεμαμένοις στήμονο ς , τὸν Ἀντίπατρον οὕτω σκώψαντος.

59 STOB. flor. 29, 91 = CRAMER, Anecd. Ox. IV 253: Δημάδης ἐρωτηθεὶς τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, ‘ τὸ τῶν Ἀθηναίω ν , ἔφη, βῆμα ‘, ἐμφαίνων ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστί ν .

60 DEMAD. n. 9 Diels p. 112: ὁ αὐτὸς δυσημερῶν ἐπί τινος δημηγορίας ἔφη ὥσπερ ἀγωνιστοῦ γίνεσθαι δυσημερίαν οὕτω καὶ ἀκροατο ῦ .

61 GNOMOL. COD. BAROCC. BODL. 143, f. 231 v : Δημάδου· ‘ τοὺς υἱοὺς σπούδαζε πεπαιδευμένους μᾶλλον ἢ πλουσίους καταλιπεῖν ‘ .

62 DEMAD. n. 3 Diels p. 110: ὁ αὐτὸς ἐπεὶ ἐλοιδορεῖτο ὑπό τινος νεανίσκου τὰ αἴσχιστα, ‘ νεανίσκ ε , ἔφη, ἡ γλῶσσά σου οὐκ ἐν τῷ στόματί σου κάθηται ἀλ λ ’ ἐπὶ οἰκήματοσ ‘ .

63 PS. DEMAD. ὑπ. τ. δωδ. § 15: ‘ κρεῖττον γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι ‘ .

64 PS. DEMAD. ὑπ. τ. δωδ. § 15: ‘ δεῖ δὲ τὸν σύμβουλο ν , καθάπερ τὸν ἰατρό ν , οὐ τῆς νόσου τὴν αἰτίαν ἔχει ν , ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν ‘ .

65 SEXT. EMP. adv. math. I 295 (a. 338): εἰ μήτι καὶ Δημάδης ὁ ῥήτωρ γραμματικὸς ὢν πολλοῖς τῶν Ἀθηναίων μετὰ τὴν ἐν Χαιρωνείᾳ ἧτταν συναιχμαλωτισθεὶς καὶ εἰπὼν πρὸς τὸν Φίλιππον ἀναγκάζοντα εὐωχεῖσθαι· ‘..... . τίς γάρ κεν ἀνὴρ ὃς ἐναίσιμος εἴ η , πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτο ς , πρὶν λύσασ θ ’ ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθα ι ;‘

67 ATHEN. III 99 D: καὶ Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε τὴν μὲν Αἴγιναν εἶναι λήμην τοῦ Πειραιῶ ς .

68 ATHEN. III 99 D: (Δημάδης ἔλεγε) ... ἔαρ δὲ τοῦ δήμου τοὺς ἐφήβου ς .

69 DEMAD. n. 7 Diels p. 111: ὁ αὐτὸς λέγων ποτὲ κρίσιν ἐν πανδοκείῳ ὑβρισμένου μάρτυρας προέφερε τοὺς πανδοκέας· τῶν δὲ κρινόντων οὐκ ἀξιοπίστους εἶναι φασκόντων, ‘ τοιοῦτος γά ρ , φησί, καὶ ὁ τόπος ἦν ἐν ᾧ ἡ ὕβρις ἐπετελέσθη · εἰ δὲ ἐν τῷ δουρείῳ ἵππῳ ὑβρίσθ η , τοὺς ἀριστεῖς ἂν ὑμῖν παρειχόμην μάρτυρας Μενέλαον καὶ Διομήδη καὶ Ὀδυσσέα ‘.

70 MAXIM. CONF. l. comm. p. 586 Comb. (Migne, PG 91, 828): ὁ αὐτὸς ἔλεγεν ὅτι ὁ παιδευόμενος τριῶν τούτων χρήζε ι , φύσεως μελέτης χρόνο υ .

71 DEMAD. n. 8 Diels p. 112: ὁ αὐτὸς ἐρωτώμενος ὑπό τινος τί εἴη πεποιηκὼς τὰ ἐκ Μακεδονίας χρήματα, διαναβαλλόμενος καὶ ἐπιδείξας τήν τε κοιλίαν καὶ τὰ αἰδοῖα· ‘ τί ἂν τούτοι ς , 〈εἶπεν〉 , ἱκανὸν γένοιτ ο ;‘

72 DEMAD. n. 4 Diels p. 110: ὁ αὐτὸς Δημοσθένη ὅμοιον ἔφη ταῖς χελιδόσι · καὶ γὰρ ἐκεῖναι οὔτε καθεύδειν ἐῶσιν οὔτε γρηγορεῖν [δύνανται]· καὶ Δημοσθένης οὔτε ἡσυχίαν ἄγειν ἐᾷ οὔτε ἄξιον οὐδὲν τῆς πόλεως ἐπιβάλλετα ι .

73 [Kohl n. 228 241]. Δημάδου. α. ὑπὲρ τῆς δωδεκαετίας. β. πρὸς τὴν εἰς Ὄλυνθον βοήθειαν. γ. πρὸς Χεροννησίτας. δ. ὑπὲρ Φιλίππου ὡς οὐ χρὴ πολεμεῖν. ε. πρὸς τοὺς Ὀλυνθίων πρέσβεις. ς. ἐναντίος Ἀλοννησίταις. ζ. κατὰ τῆς εἰς Ὄλυνθον βοηθείας. η. πρὸς Δημοσθένην πρὸς τὸν κατὰ Φιλίππου. θ. πρὸς τὸν κατὰ [περὶ corr. Bl.] τῆς εἰρήνης. ι. ἐναντίος τοῖς ἐν Μεσσήνῃ. ια. ὑπὲρ τῆς Φιλίππου ἐπιστολῆς. ιβ. πρὸς τὸν ὑπὲρ τῆς συντάξεως. ιγ. κατὰ συμμάχων. ιδ. κατὰ Ἁρπάλου.

74 LEX. SUDA s. v. Δημάδης: οὗτος Δημοσθένει λέγοντι ὑπὲρ Ὀλυνθίων ἀντέλεγεν.

75

TZETZ. Chil. VI 118 sqq.: πάλιν ἐναντιούμενος Ἁλοννησίταις λέγει· ‘ ὑπὲρ μικρᾶς τῆς νήσου τε καὶ πόρων ἐλαχίστων μέλλετε διαφέρεσθαι πρὸς Φίλιππο ν , ὦ ἄνδρε ς , ἀνδρὸς ὀχλοκοποῦντός τε καὶ στασιώδους λόγοισ ‘ . καὶ πάλιν ‘ ὑπὸ ῥήτορος ἀνδρὸς καὶ γυναικείου ‘ . πάλιν ‘ γυναικιζόμενος χλανίσι τῶν εὐσήμω ν . καὶ σύρων τὸ ἱμάτιον καὶ φωνασκῶ ν , ὡς ἔθο ς , δειλοὺς ἀνάνδρους τε καλεῖ τοὺς πρεπωδῶν συμβούλουσ ‘ . καὶ πάλιν ‘ τρίβων κεφαλὴν καὶ συνεχῶς ἐκβήττω ν , ὡς 〈καὶ〉 κατακλύσειν λόγοις μέλλων τὴν ἐκκλησία ν , Ἑλλάδα συνταράξειν τε καὶ σύμπαντας φιμώσει ν , οἳ καὶ αὐτὸν ἐπίστανται καὶ τὴν αὐτοῦ πατρίδ α , καὶ τίς τελῶν καὶ πόθεν ὢν ὑπὲρ αὐτῶν φυσᾶτα ι , καὶ τὰς ὀφρύας ἀνασπ ᾷ , καθάπερ ὁ Κριτία ς , ὁ εἷς ἐκ τῶν τριάκοντ α , μὴ παῖς μαχαιρουργοῦ δ έ , ὁ βδελυρὸς καὶ βάναυσοσ ‘ . καὶ πάλιν ‘ πλάνη ς , γόη ς , ῥήτωρ οὐκ ἐπιχώριο ς , ξένος τελῶν καὶ Σκύθη ς , ὡς παῖς δ ’ οὐκ ὢν μαχαιρουργο ῦ , μητρὸς δὲ τῆς Σκυθίδο ς , κυκ ᾷ , ταράττε ι , θορυβεῖ τὴν σύμπασαν Ἑλλάδα ‘ .

76 HERMOG. de inv. p. 102 Rabe: Δημάδης πρεσβεύσας παρὰ τὸν Φίλιππο ν , καὶ ἐρομένου ποταπαί εἰσιν αἱ Ἀθῆναι τοῦ Μακεδόνο ς , ἐπὶ τῆς τραπέζης αὐτὰς κατέγραψε καὶ ἐπανελθὼν ὕβρεως κρίνεται · οἷον ‘καὶ διὰ τὸν ἄλλον μὲν βίον, ὦ Ἀθηναῖοι, τὸν προσόντα Δημάδῃ καὶ τὴν προδοσίαν ἄξιον ἦν κολάσαι τοῦτον, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰ νῦν αὐτῷ γεγενημένα, ἐξ ὧν αἰσχύνην ὁμοῦ καὶ ζημίαν περιῆψε τῇ πόλει‘.

77 TZETZ. epit. rhet. vv. 228 sqq., III 677 Walz: Δημάδης ῥήτωρ τὸν υἱὸν μειράκιον ὡραῖον λίχνον καὶ ἀσωτεύοντα πρὸς Φίλιππον ἐκπέμπων ἀπολαβών τε πλούσιον κρίνεται κακοῦ βίο υ . MAX. PLAN. in Herm. V 377, 12 Walz: ὁ Δημάδης διεβάλλετο κακοῦ βίου, ὡς τὸν ἴδιον υἱὸν παρὰ τῷ Φιλίππῳ καταλιπὼν εὐπρεπῆ ὄντα φαύλης ἕνεκεν ὑπολήψεως.

78 TZETZ. Chil. VI 18 sqq.: ἀνθ’ ὧν ὑπῆρχεν ἐραστὴς εἰρήνης ὁ Δημάδης φάσκων ‘ ἀνάνδρους οὐ καλῶ καθάπερ Δημοσθένη ς , ἀναρριπίζων πόλεμο ν , εἰρήνην ἀπελαύνω ν , δειλός εἰμι καὶ ἐραστὴς καθέστηκα εἰρήνη ς , οὐ στέργω μάχης ἀραγμοὺς οὐδὲ πολέμων κρότου ς , οὐδὲ πρὸς πολυάνδριον θέλω φιλοτιμεῖσθα ι . περὶ εἰρήνης λέγοντ ι , ὦ ἄνδρε ς , πείθεσθέ μο ι , μὴ ὀχλοκόπῳ δὲ ἀνδρὶ μάτην ὀχλοκοποῦντι · ἀντιστροφὴ γὰρ γίνεται πραγμάτων τῷ πολέμῳ · θάπτει πατὴρ τὸν παῖδα γά ρ , γέρων τὸν γηροτρόφο ν . εἴ θ ’ ὤφελον Δημάδην μὲν ἔχειν καὶ οἱ Θηβαῖοι · ἔτι γὰρ ἄ ν , Δημόσθενε ς , ἦσαν αἱ Θῆβαι πόλις · νῦν δ ’ εἰσὶ πολυάνδριον καὶ τόπος οἰκοπέδων · δακρύσει καὶ πολέμιος νῦν παριὼν τὸν τόπον ‘ . PS. DEMAD. exc. palat. 18 Haupt: ‘ ὄφελον καὶ Θηβαίους ἔχειν Δημάδην · ἔτι γὰρ ἂν ἦσαν αἱ Θῆβαι πόλις · νῦν δ ’ εἰσὶν οἰκόπεδον πόλεως καὶ λείψανα κακῶν ταῖς τῶν ἐχθρῶν χερσὶν εἰς ἔδαφος ἀχθεῖσαι ‘ .

79 PS. DEMAD. exc. palat. 25 Haupt: ‘ ὁ Δημοσθένης ὁ πικρὸς συκοφάντης διαστρέφων τὸ πρᾶγμα τῇ δεινότητι τῶν ῥημάτων διέβαλεν ‘ .

80 HEROD. de fig. III 99 Sp.: ἑτέρα δὲ ἀντίθεσις ὅταν ἀντιστέλληται κατάφασις ἀποφάσει· ‘σὺ μὲν γὰρ ἔλαβες, Δημάδη, δῶρα παρὰ Φιλίππου, ἐγὼ δὲ οὐκ ἔλαβον· καὶ σὺ μὲν συνέπινες αὐτῷ κατὰ τῆς πόλεως εὐωχουμένῳ, ἐγὼ δὲ οὐ συνέπινον· καὶ σὺ μὲν συνηνέχθης τοῖς ἐκείνου πρέσβεσι συνομνύμενος, ἐγὼ δὲ οὐ συνηνέχθην‘. ALEX. de fig. III 36 Sp.: ἀντίθεσις δὲ γίνεται κατὰ τρόπους πλείονας, καθ’ ἕνα μὲν ... καθ’ ἕτερον δέ, ὅταν αὐτὰ στρέφηται τὰ ὀνόματα· ‘σὺ ... συνέπινον‘. ZONAEUS de fig. III 169, 23 sqq. Sp. = ANON. de fig. III 186, 16 sqq. Sp.: ἀντίθετον γίνεται κατὰ δύο τρόπους· καθ’ ἕνα μὲν ... · καθ’ ἕτερον δέ, ὅταν ἀντιδιαστέλληται κατάφασις ἀποφάσει, ὡς τὸ ‘σὺ μὲν ἔλαβες δῶρα, ἐγὼ δ’ οὐκ ἔλαβον‘.

81 APSIN. ars rhet. 1, p. 221, 2 sqq. Sp. H.: ἔγραψεν ὁ Δημάδης τρισκαιδέκατον θεὸν νομίζειν τὸν Φίλιππον · ἀντειπὼν ὁ Δημοσθένης ἡττήθη· καὶ γράφει καὶ νεὼν ἱδρύσασθαι Φιλίππ ῳ .

82

Eulogikon public reading copy · View original HTML at eulogikon.org

PS. LIBAN. decl. XVIII Argum.: νόμος τὸν ξενίας ἁλόντα πιπράσκεσθαι· ἑάλω ξενίας ὁ Δημοσθένης. ἔπεμψε Φίλιππος ὠνούμενος αὐτόν. γράφει Δημάδης διδόνα ι , Ὑπερίδης δημόσιον εἶναι.

83 (t1) OXYRH. PAP. 226: πρὸς τὴν ἐπιστολὴν τὴν Ἀλεξάνδρου. .........

83,1 βούλεσθε οὖν ἀπὸ μιᾶς ἐπιστολῆς ἀπειλὴν δουλείας ἀντ' ἐλευθερίας ἀντικαταλλάσσεσθαι; καὶ ποῦ τὸ περιμάχητον οἴχεται φρόνημα τῆς ἡγεμονίας; ἐπιζητῶ γάρ, εἰ μή τι διαμαρτάνω τῷ λογισμῷ. φησὶν ἡμῖν πολεμήσειν καὶ ἡμεῖς ἐκ[διδομένων τούτ]ων .........

83,2 [τίνα τῶν συμμάχω]ν ἀπολωλέκα[μεν; ποῦ τὰ] τείχη τῆς πό[λεως πέπτωκεν; τίς αἰχμ[άλωτος ἡμῶν γέγονεν; [πότε] πεζομαχοῦντες ἢ ναυμαχοῦντες λελείμμεθα; ἐνταῦθα γὰρ ἄνθρωποι περιγεγραμμένοι πάσας τὰς ἐλπίδας τῷ τῆς ἀνάγκης καιρῷ δουλεύσουσι, ἡμῖν δ' ἀπόρθητός ἐστιν ἡ δημοκρατία· ὁμονοοῦμεν πρὸς ἀλλήλους, τοῖς νόμοις ἐνμένομεν, καρτερεῖν ἐν τοῖς δεινοῖς ἐπιστάμεθα, τὴν τῆς ἐλευθερίας τάξιν οὐκ ἐνκαταλείπομεν. ἐν τοῖς ὅπλοις νικήσας νεανικευέσθω, ταῖς δ' ἀπὸ τῶν ἐπιστολῶν ἀπειλαῖς τοὺς βαρβάρους ἐξαπατάτω. ἡ δὲ τῶν Ἀθηναίων πόλις ἐπιτάττειν, οὐχ ὑπακούειν εἴθισται] καὶ δ[ικά]ζε[ιν ...

84 (t) PS. CALLISTH. hist. Alex. M. II 2, 8—16, p. 66 sq. Kroll: λέγοντος τοῦ Αἰσχίνου ἀνίσταται Δημάδης, γενναῖος ῥήτωρ, καὶ ἀνακόπτει τὸν Αἰσχίνην εἰπών· 'μέχρι πότε, Αἰσχίνη, μεμαλθακευμένους καὶ δειλιῶντας ἡμῖν εἰσφέρεις λόγους, ὥστε μὴ ἀντιτάξασθαι αὐτῷ πρὸς πόλεμον; τίς παρεισελήλυθε δαίμων ὡς τοιαῦτα φθέγξασθαι; ὁ τηλικαύτας συνηγορίας ποιησάμενος, ὁ προτρεψάμενος Ἀθηναίους πολεμεῖν πρὸς τὸν τῶν Περσῶν βασιλέα νῦν εἰς δειλίαν Ἀθηναίους ἐμβάλλεις καὶ τρέμειν ποιεῖς μειράκιον τύραννον αὐθάδη, τὴν τοῦ πατρὸς ἀναλαβόντα τόλμην; τί δὲ καὶ δειλιῶμεν αὐτῷ συμβαλεῖν; οἱ Πέρσας διώξαντες καὶ Λακεδαιμονίους ἡττήσαντες καὶ Κορινθίους νικήσαντες, ἔτι δὲ Μεγαρεῖς φυγαδεύσαντες καὶ Φωκεῖς πολεμήσαντες καὶ Ζακυνθίους πορθήσαντες δεδοίκαμεν πολεμεῖν Ἀλεξάνδρῳ; —ἀλλὰ λέγει Αἰσχίνης· μνησθήσεται, φησίν, ἡμῶν τῶν καθηγητῶν καὶ αἰδεσθήσεται ἡμῶν τὰς ὄψεις· γελοίως. ἅπαντας ἡμᾶς ὕβρισε καὶ μετέστησε Στασαγόραν τῆς στρατηγίας, ὃν ἡμεῖς ἀπεκατεστήσαμεν, καὶ Κιθόωντα τὸν ἐμὸν ἐχθρὸν ἀπεκατέστησεν ἀρχιστρατηγόν, ἡμῶν οὔσης τῆς πόλεως. ἤδη δὲ αὐτῷ ἐξεδίκησε Πλαταιάς· καὶ σὺ λέγεις, ὅτι θεασάμενος ἡμῶν τὰς ὄψεις αἰδεσθήσεται; μᾶλλον γυμνοὺς ἡμᾶς λαβὼν κολάσεται. ὥστε πολεμήσωμεν ἀγνώμονι Ἀλεξάνδρῳ καὶ μὴ πιστεύσωμεν, εἰ περίκειται ἡλικία· καὶ γὰρ ἄπιστος ἡ ἡλικία· δύναται γὰρ γενναίως πολεμεῖν, οὐ δικαίως σωφρονεῖν. —Τυρίους, φησίν, ἐξεπόρθησεν· ἀδύναμοι γὰρ ἦσαν. Θηβαίους κατέσκαψεν οὐκ ὄντας οὕτως ἀδυνάμους, ἀλλὰ ἀπὸ πολλῶν πολέμων καμόντας· Πελοποννησίους ἐξῃχμαλώτισεν—οὐκ αὐτός, ἀλλὰ λοιμὸς καὶ λιμὸς αὐτοὺς διέφθειρεν. εἶτα δὲ Ξέρξης ἐξήρτησε τὴν θάλασσαν ναυσὶ καὶ κατέσπειρε τὴν ὅλην γῆν στρατεύμασι καὶ ἐσκέπασε τοῖς ὅπλοις τὸν ἀέρα 〈καὶ〉 ἐπλήρωσε τὴν Περσίδα τῶν αἰχμαλώτων· καὶ ὅμως ἡμεῖς αὐτὸν ἀπεδιώξαμεν καὶ τὰς ναῦς ἐπρήσαμεν, Κυναιγείρου καὶ Ἀντιφῶντος καὶ Μνησοχάρους καὶ τῶν ἄλλων ἀριστέων μαχησαμένων. 〈νῦν δὲ δεδοίκαμεν〉 Ἀλεξάνδρῳ πολεμῆσαι παιδὶ τολμηρῷ καὶ τοῖς περὶ αὐτὸν οὖσι σατράπαις καὶ παρασπισταῖς τοῖς ἀφρονεστέροις αὐτοῦ; εἶτα πέμπειν ἡμᾶς βούλεσθε οὓς ᾐτήσατο δέκα ῥήτορας; εἰ συμφέρει, λογίσασθε. τοῦτο μέντοιγε ὑμῖν προμηνύω, ἄνδρες Ἀθηναῖοι, ὅτι πολλάκις δέκα κύνες γενναίως ὑλακτοῦντες ὅλας [τὰς] ἀγέλας [τῶν] ποιμνίων δειλῶς φερομένας πρὸς τοὺς λύκους οὗτοι ἔσωσαν'.

86 PHILOSTR. v. soph. II 119, 30 sqq. Kayser: μελέται μὲν δὴ τοῦ ἀνδρὸς τούτου ( sc. Ἱπποδρόμου) τριάκοντα ἴσως, ἄρισται δὲ αὐτῶν οἱ Καταναῖοι καὶ οἱ Σκύθαι καὶ ὁ Δημάδης ὁ μὴ ξυγχωρῶν ἀφίστασθαι Ἀλεξάνδρου ἐν Ἰνδοῖς ὄντο ς .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

87 (t1) ΔΗΜΑΔΟΥ ΥΠΕΡ ΤΗΣ ΔΩΔΕΚΑΕΤΙΑΣ.

87,1 Τῆς μὲν τῶν κινδυνευόντων σωτηρίας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τῆς τιμωρίας ὑμεῖς παρὰ τῶν νόμων τὴν ἐξουσίαν εἰλήφατε· οὔτε δὲ ἰατρὸς ἐμπείρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἐὰν μὴ τὴν αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς

87,2 κρίσεως δικαίοις σαφῶς ᾖ παρηκολουθηκώς· ἐμπεσὼν δὲ αὐτὸς εἰς μέσην τὴν τῶν ῥητόρων δυσμένειαν, ὥσπερ τῆς παρὰ θεῶν οὕτω τῆς παρ’ ὑμῶν δέομαι τυχεῖν βοηθείας. διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι τὸν λόγον ἄπιστον καταστήσειν. ἐγὼ δ’ ἀποθανὼν μὲν ἢ ζῶν οὐδέν εἰμι· τί γὰρ Ἀθηναίοις, εἰ παρανάλωμα Δημάδης; δακρύσει δέ μου τὴν ἀπώλειαν οὐχ ὁ στρατιώτης (πῶς γάρ; ὃν αὔξει μὲν πόλεμος, εἰρήνη δ’ οὐ τρέφει), ἀλλ’ ὁ τὴν χώραν γεωργῶν καὶ ὁ τὴν θάλατταν πλέων καὶ πᾶς ὁ τὸν ἡσύχιον βίον ἠγαπηκώς, ᾧ τὴν Ἀττικὴν ἐτείχισα τοὺς ὅρους τῆς χώρας

87,3 περιβαλὼν οὐ λίθοις ἀλλὰ τῇ τῆς πόλεως ἀσφαλείᾳ. δεινὸν δέ τι συμβαίνει πολλοῖς τῶν κρινόντων, ὦ ἄνδρες δικασταί· ὥσπερ γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος τὴν ὅρασιν συγχέασα κωλύει τὰ ἐμποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρεισδύνων λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ ἐᾷ δι’ ὀργὴν συνορᾶν τὴν ἀλήθειαν. διὸ καὶ δεῖ συνορᾶν ὑμᾶς εὐλαβῶς ἐπὶ τῶν κινδυνευόντων μᾶλλον ἢ τῶν ἐγκαλούντων· οἱ μὲν γὰρ αὐτόθεν ἔχουσιν ἐκ τῆς πρωτολογίας ὁποῖον αὐτοὶ βούλονται τὸν δικαστήν, οἱ δ’ ἀναγκάζονται πρὸς ὠρ-

87,4 γισμένους κριτὰς τὴν διάνοιαν ἀντιτάσσεσθαι. ἐὰν μὲν οὖν φαίνωμαι τοῖς ἐγκαλουμένοις ἔνοχος, καταψηφίσασθε, μὴ φείσησθε· οὐ παραιτοῦμαι· ἐὰν δ’ εὑρίσκωμαι τῶν ἐγκεκλημένων κεχωρισμένος τῷ δικαίῳ τοῖς νόμοις τῷ συμφέροντι, μὴ πρόησθέ με τῇ τῶν κατηγόρων ὠμότητι. εἰ δὲ πάντως ἀποθανὼν συμβαλοῦμαί τι πρὸς τὴν κοινὴν σωτηρίαν, ὡς οὗτοι λέγουσιν, ἑτοίμως ἔχω τελευτᾶν· κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ δημοσίαν εὔνοιαν καλόν, ἐὰν ἡ χρεία τῆς πατρίδος·

87,5 ἀλλὰ μὴ ὁ τούτων λόγος τὸ νῦν ἀφαιρῆται. δότε δή μοι πρὸς θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δότε διαλεχθῆναι ὡς προαιροῦμαι πρὸς ὑμᾶς περὶ τῶν δικαίων· δοκῶ μὲν γὰρ δύναμιν εἶναί μοι καὶ τοῖς ἄλλοις βοηθεῖν· ἐν δὲ τούτοις ἐμποδίζει μου τὸν λόγον ὁ φόβος. ἄλλως δὲ οὐ τὸν ἔλεγχον τοῦ πράγματος δέδοικα, ἀλλὰ τὴν τῶν ἀντιδίκων διαβολὴν μόνον, ἥτις οὐ κρίνει τοὺς ἀδικοῦντας, ἀλλὰ φύεται τοῖς δοκοῦσί

87,6 〈τι δύνασθαι〉 λέγειν ἢ πράττειν. ἡ παρ’ ὑμῖν ἐλπὶς δὲ δικαία· οὐ μικρὰ 〈γάρ〉 ἐστι τῷ κινδυνεύοντι ῥοπὴ πρὸς σωτηρίαν ἡ τῶν ἀκουόντων βούλησις ταττομένη μετὰ τοῦ δικαίου. ἐὰν δὴ ταύτης κατατύχω, πάσας ἀπολύσομαι τὰς διαβολάς· ἄνευ δὲ ταύτης οὔθ’ ὁ λόγος οὔθ’ οἱ νόμοι οὔθ’ ἡ τῶν πραγμάτων ἀλήθεια σῶσαι δύνανται τὸν ἀδίκως κρινόμενον· οὐκ ἀγνοεῖτε δὲ ὅτι πολλοὶ πολλάκις ἤδη τῶν ἐγκαλούντων ἀπὸ μὲν τῆς κατηγορίας ἔδοξαν δίκαια λέγειν, παρατεθείσης δὲ τῆς ἀπολογίας εὑρέθησαν αὐτοὶ συκοφαντοῦντες· ὃ δὴ καὶ νῦν πέπεισμαι τούτοις παρακολουθήσειν

87,7 ὑμῶν ἀκούειν προαιρουμένων μετ’ εὐνοίας. ἐπεὶ δὲ καὶ τῆς ἄλλης μου πολιτείας κατηγορεῖν ἐπεχείρησαν, βραχέα βούλομαι περὶ αὐτῆς εἰπεῖν, ἔπειθ’ οὕτως ἐπὶ τὴν λοιπὴν δικαιολογίαν ἀπελθεῖν, ἵνα μὴ λάθωσιν ὑμᾶς παρακρουσάμενοι. γεγονὼς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, Δημάδου πατρός, ὡς καὶ ὑμῶν οἱ πρεσβύτεροι γινώσκουσι, τὸν μὲν ἄλλον χρόνον οὕτως ἔζων ὡς ἠδυνάμην, οὔτε κοινῇ τὸν δῆμον ἀδικῶν οὔτ’ ἰδίᾳ λυπῶν οὐδένα τῶν ἐν τῇ πόλει, πειρώμενος δ’ ἀεὶ τοῖς ἰδίοις πόνοις

87,8 τὴν ἀσθένειαν τοῦ βίου διορθοῦσθαι. ἡ πενία δ’ ἴσως δύσχρηστον μὲν ἔχει τι καὶ χαλεπόν, κεχώρισται δ’ αἰσχύνης, ὡς ἂν οἶμαι τῆς ἀπορίας ἐπὶ πολλῶν οὐ τρόπου κακίαν ἀλλὰ τύχης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγνωμοσύνην ἐλεγχούσης. προσελθὼν δὲ τοῖς κοινοῖς, οὐκ εἰς δίκας καὶ τὴν ἀπὸ τῆς λογογραφίας ἐργασίαν ἔθηκα τὸν πόνον, ἀλλ᾽ εἰς τὴν ἀπὸ τοῦ βήματος παρρησίαν, ἣ τοῖς μὲν λέγουσιν ἐπισφαλῆ παρέχεται τὸν βίον, τοῖς δ᾽ εὐλαβουμένοις μεγίστην δίδωσιν ἀφορμὴν πρὸς κατόρθωσιν· οὐ γὰρ ἐν τῇ τοῦ λέγοντος χάριτι δεῖ συνεκπίπτειν τὴν τῆς

87,9 πατρίδος σωτηρίαν. χιλίων Ἀθηναίων ταφὴ μαρτυρεῖ μοι κηδευθεῖσα ταῖς τῶν ἐναντίων χερσίν, ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς ἀποθανοῦσιν. ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν ἔγραψα τὴν εἰρήνην, ὁμολογῶ. ἔγραψα καὶ Φιλίππῳ τιμάς, οὐκ ἀρνοῦμαι. δισχιλίους γὰρ αἰχμαλώτους ἄνευ λύτρων καὶ χίλια πολιτῶν σώματα χωρὶς κήρυκος καὶ τὸν Ὠρωπὸν ἄνευ

87,10 πρεσβείας λαβὼν ὑμῖν ταῦτ᾽ ἔγραψα. ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς οὐχ ἡ δωροδοκία τῶν Μακεδόνων, ὡς οὗτοι πλαττόμενοι λέγουσιν, ἀλλ᾽ ὁ καιρὸς καὶ ἡ χρεία καὶ τὸ τῆς πατρίδος συμφέρον καὶ ἡ τοῦ βασιλέως φιλανθρωπία· ἐλθὼν γὰρ ἐπὶ τὸν κίνδυνον ἐχθρὸς τῶν ἀγώνων φίλος ἐχωρίσθη,

87,11 τὸ τῶν νενικηκότων ἆθλον τοῖς σφαλεῖσι προσθείς. πάλιν τοίνυν ἧκε τῇ πόλει καιρὸς ἕτερος, ἵνα τοὺς μεταξὺ κινδύνους ἑκὼν ἐπιλάθωμαι· καὶ πάντες μὲν οἱ τὴν Ἑλλάδα κατοικοῦντες τὸν Ἀλέξανδρον ἐπὶ τὴν ἡγεμονίαν ἀνεβίβαζον, καὶ τοῖς ψηφίσμασιν ἀναπλάττοντες φρόνημα μεῖζον τοῦ δέοντος ἀνδρὶ νέῳ καὶ φιλοδόξῳ περιέθηκαν· λοιποὶ δὲ ἦμεν ἡμεῖς καὶ Λακεδαιμόνιοι πρόβλημα τῆς σωτηρίας ἔχοντες οὐ χρημάτων πλῆθος, οὐχ ὅπλων παρασκευάς, οὐχ 〈ἱππέων καὶ〉 πεζῶν σύνταξιν, ἀλλ᾽ ἐπιθυμίαν μεγάλην, δύναμιν δ᾽ ἀσθενῆ

87,12 καὶ ταπεινήν. ὧν μὲν γὰρ ἐσύλησε τὴν ἰσχὺν ὁ περὶ Λεῦκτρα κίνδυνος, ὁ δὲ πρότερον ἀπείρατος ὢν πολεμίας σάλπιγγος Εὐρώτας Βοιωτοὺς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας εἶδεν· ἀπέκειρε γὰρ τὴν ἀκμὴν τῆς Σπάρτης ὁ Θηβαῖος, καὶ τοὺς ὅρους τῆς Λακωνικῆς τεθειμένους τὴν ἀκμὴν τῶν νέων συνέκλεισε ταῖς τέφραις. τὰς δ᾽ ἡμετέρας παρασκευὰς ἀνάλωσεν ὁ πόλεμος, καὶ τὴν ἐλπίδα τῶν ζώντων συνέτριψεν ἡ συμ-

87,13 φορὰ τῶν ἀποθανόντων. Θηβαῖοι δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν Μακεδόνων φρουράν, ὑφ᾽ ἧς οὐ μόνον τὰς χεῖρας συνεδέθησαν ἀλλὰ καὶ τὴν παρρησίαν ἀφῄρηντο· τῷ γὰρ Ἐπαμινώνδου σώματι συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων ὁ καιρός. ἤκμαζον δὲ τοῖς σώμασιν οἱ Μακεδόνες, οὓς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ Περσῶν σκῆπτρα καὶ τοὺς θησαυροὺς ἡ

87,14 τύχη διεβίβαζεν. ἐνταῦθ᾽ ὁμοίως Δημοσθένης μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς ὀνόμασιν οὐ σωτήριον δὲ τοῖς ἔργοις συμβουλίαν εἰσηγησάμενος τοῖς πολίταις· ὡς δὲ πλησίον ἔστη τῆς Ἀττικῆς ὁ πολέμιος, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις [καὶ τῶν βοσκημάτων] ἐπληροῦτο, βοηθείας δ᾽ οὐδαμόθεν ἦν ἐλπίς, ἔγραψα

87,15 τὴν εἰρήνην. ὁμολογῶ, καὶ φημὶ καλῶς καὶ συμφερόντως πεπρᾶχθαι τοῦτο· κρεῖττον γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι. ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐκ τῶν πραγμάτων λύπην ἐμοὶ παρ᾽ ὑμῶν μηδεμίαν ἀπογεννῆσαι δυσμένειαν. οὐ γὰρ ἐγὼ κρατῶ τῆς τύχης ἀλλ᾽ ἡ τύχη τοῦ βίου, δι᾽ ἣν κινδυνεύει. δεῖ δὲ τὸν σύμβουλον, καθάπερ τὸν ἰατρόν, οὐ τῆς νόσου τὴν αἰτίαν

87,16 ἔχειν, ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν. καταχωρίσαντες οὖν τὰ συμβάντα διὰ τὰς ἔξωθεν αἰτίας, ψιλῶς ἐπὶ τῶν πραγμάτων γυμνὴν θεωρήσατέ μου τὴν πολιτείαν. μετὰ ταῦτα τοίνυν τῇ πόλει τρίτος ἐπήγετο κίνδυνος πάντων χαλεπώτατος, οὐκέτι πεμφθεὶς ὑπὸ τῆς τύχης, ἀλλ᾽ ὑπὸ τῶν

87,17 τότε ῥητόρων ἐπαχθείς. καί μοι τῶν πεπραγμένων ἀναμνήσθητε, ἡνίκα Δημοσθένης καὶ Λυκοῦργος τῷ μὲν λόγῳ παραταττόμενοι τοὺς Μακεδόνας ἐνίκων ἐν Τριβαλλοῖς, μόνον δ᾽ οὐχ ὁρατὸν ἐπὶ τοῦ βήματος νεκρὸν τὸν Ἀλέξανδρον προέθηκαν, ἐν τῷ δήμῳ δ᾽ ἀλείψαντες λόγοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐπρεπέσι Θηβαίων τοὺς παρόντας φυγάδων θυμοὺς ἐπ’ ἐλπίδι τῆς ἐλευθερίας ἠκόνησαν, ἐμὲ 〈δὲ〉 στυγνὸν καὶ περίλυπον ἔφασκον εἶναι μὴ συνευδοκοῦντα ...

88 SYRIAN. in Herm. II 85, 13 sqq. Rabe: ἐνίοτε δὲ καὶ πλείω εὑρίσκεται χρώματα πολλῶν ὄντων 〈τῶν〉 τεκμηρίων ὡς ἐπ’ ἐκείνου· ἐγράφη φυγῆς ψήφισμα Δημοσθένε ι , Ὑπερίδης περὶ καθόδου συνεβούλευσ ε , Δημάδης ἀντεῖπε ν , ἡττήθ η , εὕρηται Δημοσθένης νεκρὸς ἀσκύλευτος καὶ κρίνεται Δημάδης φόνου · πρὸς γὰρ ἕκαστον τῶν τεκμηρίων ἀνακύψει χρῶμα ‘ὁ γὰρ ἀντειπὼν τῇ καθόδῳ πρόδηλον ὡς καὶ τὴν σφαγὴν ἐπήνεγκε τῷ καταστείχοντι‘ καὶ ἄλλο ‘ὁ γὰρ ἡττηθεὶς ἐφ’ οἷς ἔγραφε φανερὸν ὡς θυμῷ τὸ πᾶν ἐπιτρέψας ἐκποδὼν καταστῆσαι τὸν ἐχθρὸν ἔσπευδεν‘ καὶ τρίτον ‘ὁ γὰρ ἀνῃρηκὼς Δημάδης οὐ λωποδύται, καὶ τεκμήριον ὁ Δημοσθένης νεκρὸς τῆς ἐσθῆτος οὐκ ἀπεστερημένοσ‘. SYRIAN. SOPATR. in Herm. IV 342 Walz = SOPATR. V 129 sq. Walz: ἡ δὲ ἐργασία τῆς βουλήσεως γίνεται ἀπὸ τῆς αἰτίας· ἡ δὲ αἰτία ἡ μέν ἐστι προκαταρκτική, ἡ δὲ τελική· προκαταρκτικὴ μὲν ἀπὸ τῶν παρελθόντων, οἷον δι’ ἣν καὶ διότι ἠβούλετο τοῦτο πρᾶξαι· τελικὴ δὲ ἀπὸ τῶν μελλόντων, οἷον οὗ ἕνεκεν ἠβούλετο· καὶ προκαταρκτικὴ μὲν οὕτως· ἐγράφη ψήφισμα καθόδου Δημοσθένε ι , Δημάδης ἀντειπὼν οὐκ ἔπεισεν · εὕρηται κατιὼν ἐπὶ τοῖς ὁρίοις τῆς χώρας νεκρὸς ἀσκύλευτος Δημοσθένη ς , καὶ κρίνεται Δημάδη ς . ἐνταῦθα ἡ βούλησις ἐκ προκαταρκτικοῦ αἰτίου οὕτως· ὅτι διὰ τὴν φθάσασαν ἔχθραν, διὰ τὸ ἀντειπεῖν καὶ μὴ πεῖσαι, διὰ τὸ πολλάκις ὑπ’ αὐτοῦ κριθῆναι, διὰ τὰς γεγενημένας ὑπὸ σοῦ κλοπάς, διὰ τὸ δέος τῆς προδοσίας [ἑτεροδοσίας Sop.] εἰκὸς αὐτὸν ἀνελεῖν. SOPATR. VIII 14 sq. Walz: Δημοσθένει φεύγοντι ἐγράφη κατόδου ψήφισμα · Δημάδης ἀντείρηκεν · οὐδὲν ἧττον ὁ δῆμος ἐψηφίσατο · κατιὼν Δημοσθένης εὕρηται νεκρὸς ἀσκύλευτο ς , καὶ κρίνεται Δημάδης φόνο υ . ἡ κατάστασις Δημοσθένους ἔχει τὴν πολιτείαν, τὰς λειτουργείας, τὴν εὔνοιαν, τὴν κατὰ Φιλίππου παρρησίαν καὶ ὅσα τοιαῦτα. τὸ δὲ ἀποφανθῆναι παρὰ τῆς ἐξ Ἀρείου πάγου βουλῆς τὸν Δημοσθένην δῶρα παρὰ Ἁρπάλου λαβεῖν, λῆμμά ἐστιν· οὐ γὰρ δεῖ τὴν κατάγνωσιν ταύτην λογίζεσθαι· ὡς μὴ κατεγνωσμένου γὰρ Δημοσθένους, τὸν ὅρον δεῖ λαβεῖν ὡς ἐν λήμματι ἐλέγχων ἀπαιτήσει. ΑΠΟΦΕΥΓΟΝΤΟΣ· εἰ παρά τινός μου μαρτυροῦσι τὸν φόνον βουλήσει · ‘οὐκ ἂν ἐβουλήθην ἀποκτεῖναι ἵνα μὴ ἐναγὴς γένωμαι μηδὲ ὑπεύθυνος τιμωρίᾳ μηδὲ χρήσωμαι κακοδοξίᾳ‘· δυνάμει · ‘οὐκ ἂν ἠδυνήθην αὐτὸν ἀποκτεῖναι ὄντα μετὰ φίλων, μετ’ οἰκετῶν‘. ΑΠ’ ΑΡΧΗΣ ΑΧΡΙ ΤΟΥ ΤΕΛΟΥΣ. ΤΟΥ ΔΙΩΚΟΝΤΟΣ· ‘ἀλλ’ ἀντεῖπε τῷ ψηφίσματι, καὶ κατιὼν εὑρέθη νεκρός· καὶ ἱκανὰ ταῦτα τυγχάνει τεκμήρια τοῦ γε πεφονευκέναι‘.

89 TZETZ. Chil. VI 112 sqq.: ὁ δὲ Δημάδης ἀνελεῖν τὸν Δημοσθένην λέγει, ‘ συγκείμενον ἀνθρώπιον ἐκ συλλαβῶν καὶ γλώττη ς . ‘ καὶ πάλιν· ‘ κόλα ξ , πού φησι, καὶ ἄνθρωπος δὲ γόης δυστήνους λόγους μελετῶν κυκᾷ τε καὶ ταράσσε ι , τυρβάσα ς , οἰκτισάμενος ἄλλα ποιῶν μυρί α , προσποίητά τε δάκρυα σὺν τούτοις ἐκδακρύων ‘ . PS. DEMAD. exc. palat. 43 Haupt: ‘ ὁ Δημοσθένης ἀνθρωπάριον ἐκ συλλαβῶν καὶ γλώσσης συγκείμενον ‘ .

90 TZETZ Chil. VI 173 sqq.: ὡς τέθνηκε δ’ Ἀλέξανδρος, ἦρξαν δὲ Μακεδόνων Ἀντίπατρος καὶ Κάσσανδρος, οὔπω δὲ Δημοσθένης οὐδὲ οἱ ἄλλοι ῥήτορες δεδώκασι τὴν δίκην, Ἀρχίας ὁ Βουραῖος μὲν ἐκ πάσης τῆς Ἑλλάδος σταλεὶς ἀνεῖλε ῥήτορας εἰς ἀριθμὸν ἀπείρους. Δημάδου δὲ αἰτήσαντος οἱ Ἀθηναίων μόνοι ῥήτορες ἀπετμήθησαν τὰς γλώσσας ἐν Ἀθήναις, νόμω καὶ ψήφῳ Ἀττικῶν οὕτω πως δικασάντων.

93 GREG. COR. in Herm., VII 1203 Walz: λύεται δὲ τὰ ἄπορα ἐρωτήματα ἢ κατὰ ἀντερώτησιν ἢ κατὰ ἀναβολὴν ἢ κατ’ ἀσφάλειαν ἢ κατὰ αἰτιολογίαν ἢ κατὰ τὸ ἀνακόλουθον ἢ κατὰ λύπην τοῦ ἀντιδίκου· κατὰ ἀντερώτησιν, ὡς ὁ Δημάδης, ἐρωτηθεὶς ‘πῶς οὖν πολεμήσομεν;‘ ἀπεκρίνατο ‘ πῶς οὖν τὴν εἰρήνην ἄξομε ν ; ‘ .

95

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ANON. ars rhet. 165, Sp. H. p. 381, 11: λαμβάνεται δὲ (sc. ἡ πρόθεσις) καὶ μειώσεως ἕνεκεν, ὡς ὁ Δημάδης ‘ ἥρπασαν οἱ Διόσκουροι τὰς Λευκιππίδα ς , Ἀλέξανδρος τὴν Ἑλένη ν , καὶ διὰ τοῦτο τοῖς Ἕλλησι πόλεμος ἐγένετ ο , καὶ νῦν τοῦ πορνοβοσκοῦ θυγάτηρ ἥρπασται ‘ .

96 SCHOL. HES. Theog. 914 (GAISFORD, P. M. G. II 2 537): ἡρπάσθαι δὲ τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης δὲ ἐκ Κρήτης, Ὀρφεὺς δὲ ἐκ τῶν περὶ τὸν Ὠκεανὸν τόπων, Φανόδημος δὲ ἀπὸ τῆς Ἀττικῆς, Δημάδης δὲ ἐν Νάπαι ς .

97 ἔχει τι πικρὸν ὁ τῆς ἀληθείας λόγος, ἐπειδάν τις ἀκράτῳ παρρησίᾳ χρώμενος μεγάλων ἀγαθῶν προσδοκίαν ἀφαιρῆται· τὰ δὲ προσηνῆ κἂν ᾖ ψευδῆ πείθει τοὺς ἀκούοντας.

98 προσδόκιμος ἦν εἰς τὴν Ἀττικὴν ὁ κίνδυνος.

99 μετὰ βραχὺ δὲ καὶ αἱ τῶν Μακεδόνων ἐπιδορατίδες ἥπτοντ’ ἤδη τῆς Ἀττικῆς, καὶ γειτνιώσης τῆς συμφορᾶς καὶ τῆς Ἑλλάδος κατεπτηχυίας, ἔδει καταψᾶν καὶ τιθασσεύειν τὴν ὀργὴν τοῦ βασιλέως ἠρεθισμένην κατὰ τοῦ δήμου.

100 οὐχ ἡ δόσις τῶν χρημάτων λυπεῖ ἀλλ’ ἡ πρᾶξις τοῦ λαμβάνοντος, ἐὰν ᾖ κατὰ τοῦ συμφέροντος.

101 αἵματι τὸν πόλεμον διέκρινεν.

102 οὐ γὰρ ἵνα λάβω χρυσίον, ὡς αὐτοὶ [οὗτοι mavult Bl.] πλαττόμενοι λέγουσιν, ἀλλ’ ἵνα τόδε.

103 σύμμαχον εἶχεν ὑποψίαν.

104 ἀλλ’ οἱ δείλαιοι σύμβουλοι ἐξαγαγόντες εἰς τὴν Βοιωτίαν τὴν ἀκμὴν τῆς πόλεως εἰσήγαγον εἰς πολυάνδριον.

105 πραΰνεται γὰρ ὁ τῶν ἠδικημένων θυμός, ἐπειδὰν ὁ τὴν αἰτίαν ἔχων μὴ φιλονικῇ [νεικῇ cod.], κριτὴν δὲ ποιῇ τῆς εἰς αὑτὸν [αὐτὸν cod.] φιλανθρωπίας τὸν ἀδικούμενον.

106 τοὺς πρέσβεις εἰς φρέαρ κατέχωσαν, εὐγενῶς μὲν τοῖς θυμοῖς παραστάντες, οὐκ εὐσεβῶς δὲ τῇ τιμωρίᾳ χρησάμενοι.

107 ἐπόνει τοῖς κακοῖς ἡ Σπάρτη.

108 ἐγίνωσκον ἀκριβῶς τὸν μὲν τῶν πολιτευομένων βίον εὐκίνητον ὄντα, τὸ δὲ μέλλον ἀόρατον, ποικίλας δὲ τὰς τῆς τύχης [ψυχῆς cod.] μεταβολάς, ἀκρίτους δὲ τοὺς τὴν Ἑλλάδα κατέχοντας καιρούς· ὃν οὖν καθ’ ἑτέρων ἤμελλον τίθεσθαι νόμον.

109 αὐτοχειρὶ σφαγεὶς τὸν βίον ἐξέλιπεν.

110 αἱ θυγατέρες Ἐρεχθέως τῷ καλῷ τῆς ἀρετῆς τὸ θῆλυ τῆς ψυχῆς ἐνίκησαν, καὶ τὸ τῆς φύσεως ἀσθενὲς ἔπανδρον ἐποίησεν ἡ πρὸς τὸ θρέψαν ἔδαφος φιλοστοργία.

111 πρεσβῦται φιλοψυχοῦσιν ἐπὶ δυσμαῖς τοῦ βίου.

112 λόγος κενῶς μὲν ἐξενεχθεὶς θήγει τὰ ξίφη, δεξιῶς δὲ τεθεὶς καὶ τὰς ἠκονημένας λόγχας ἀπαμβλύνει· οἰκονομία δ’ ἀνύει πλέον ἢ βία.

113 ἐπίστευσεν ὁ βάρβαρος [‘Xerxes ut vid.‘ Bl.] τὸν λόγον, οὐ τὸν νοῦν ἠρεύνησεν· ἔκρινε γὰρ τοῖς ὠσὶ πρὸς ἡδονὴν τὴν ἐπαγγελίαν, οὐ πρὸς ἀλήθειαν. τὰ δ’ οὐκ ἦν λόγος, ἀλλ’ ἔργα εὐθέως ἠκολούθει.

114 βίᾳ μὲν οὐδὲ τῶν ἐλαχίστων δύναται κρατεῖν ἄνθρωπος, ἐπινοίᾳ δὲ καὶ μεθόδῳ ὑπέζευξε μὲν ἀρότρῳ βοῦν πρὸς τὴν ἐργασίαν τῆς χώρας, ἐχαλίνωσε δὲ τὸν ἵππον, ἐλέφαντι δὲ παρέστησεν ἐπιβάτην καὶ ξύλῳ τὴν ἀμέτρητον θάλασσαν διεπέρασεν. τούτων δὲ πάντων ἀρχιτέκτων καὶ δημιουργός ἐστιν ὁ νοῦς, ᾧ δεῖ καθηγεμόνι χρωμένους μὴ πάντα ζητεῖν πρὸς τὰς ἰδίας ὀξύτητας, ἀλλὰ πρὸς τὰς τῶν πραγμάτων φύσεις καὶ μεταπτώσεις. οὕτω κἀγὼ καθάπερ τι φοβερὸν θηρίον κεχαρισμένοις λόγοις τιθασεύσας τὸν Ἀλέξανδρον ἐποίησα χειροήθη πρὸς τὸ μέλλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

115 ἄρρενα λόγον καὶ τοῦ τῶν Ἀθηναίων ὀνόματος ἀξίαν παρρησίαν.

116 μισῶ τοὺς δημαγωγούς, ὅτι ταράττουσι τὸν δῆμον καὶ τὸ κτῆμα τῆς ἐμῆς πολιτείας τὴν εἰρήνην ψηφίσματι πολέμου παραθραύουσιν.

117 οἱ πρόγονοι τὴν πόλιν ἐκλιπόντες πόλιν ἔσχον τὴν θάλατταν· ἡ δ' ἀπὸ τῆς ναυμαχίας ἧττα [‘scil. τῶν βαρβάρων‘ Bl.] καὶ τὴν πεζὴν δύναμιν συνέτριψεν.

118 ἐλευθερία ὠτακουστὴν οὐκ εὐλαβεῖται.

119 ὀλισθηραὶ δὲ καὶ συνεχεῖς αἱ παρὰ τῶν πραγμάτων γινόμεναι μεταβολαί.

120 ψηφίσματι γὰρ εὐνοίας ὁ τῆς ἀθανασίας ἀφίδρυται βωμός.

121 ἐπιστήσεις αὐτοῖς κήρυκα τὸν χρόνον φθεγγόμενον.

122 Ἀλέξανδρος ὁ τὰς ἐλπίδας συνάπτων πρὸς τὴν τῆς οἰκουμένης ἡγεμονίαν.

123 ἐκεῖνοι γὰρ οἱ λόγοι τὴν ὀργὴν τοῦ βασιλέως ὥσπερ ὕπνῳ κατεκοίμησαν.

124 ἔτι γὰρ ἤκμαζον αἱ δυνάμεις τῆς πόλεως καὶ τῆς Ἑλλάδος τὸ φρόνημα, καὶ συνέρρει ἡ τύχη τῷ δήμῳ· νῦν δ' ἐξωστράκισται μὲν πᾶν τὸ χρήσιμον ἐκ τῶν πραγμάτων, ἐξήρηται δὲ τὰ νεῦρα τῶν πόλεων, εἰς ἄνεσιν δὲ καὶ τρυφὴν νενεύκασιν οἱ βίοι, τὰ δὲ τῆς ὁμονοίας οὐκέτι μένει, νόθαι δὲ γεγόνασιν αἱ τῶν φίλων ἐλπίδες.

125 ὁ δὲ πόλεμος ὥσπερ νέφος ἐκ παντὸς τόπου τῆς Εὐρώπης ἐπήρτητο, καὶ συνέκλειέ μου τὴν ἐπὶ τῆς ἐκκλησίας παρρησίαν, καὶ τὴν μετ' ἐλευθερίας καὶ δόξης φωνὴν ἀφῄρει.

126 ἐκ τῶν πραγμάτων σκοπεῖτε τὴν ἀλήθειαν, καὶ μὴ ψευδεῖς αἰτίας ὁμολογουμένων ἔργων προκρίνητε.

127 διὰ τῶν πραγμάτων πολέμιον πῦρ προαγορεύει. αὕτη ἡ Ἀλεξάνδρου ἐπιστολὴ συνέτριβέ μου τὴν διάνοιαν· αὕτη πόλεμον ἐν τύπῳ γραμμάτων περιέχουσα μονονοὺκ ἐπιλαβομένη μου τῆς χειρὸς ἐξήγειρεν· αὕτη πορευομένη διὰ τῶν λογισμῶν τὴν ἡσυχίαν ἄγειν οὐκ ἐπέτρεψεν· ἐν πύλαις γὰρ ὁ κίνδυνος.

128 ἡ δ' ἐμὴ πολιτεία καὶ ὁ τότε θόρυβος συνεπέστησε τὴν πόλιν, καὶ διεκώλυσεν ὥσπερ κῦμα πανταχόθεν ἐπικλύσαι τὴν Ἀττικήν, καὶ τὴν ἐν Βοιωτίᾳ παρασκευὴν ἔτρεψεν εἰς Πέρσας.

129 οὐ τὴν αὐτὴν ἔχει φαντασίαν ἐφεστηκὼς καὶ διαλλαγεὶς ὁ τοῦ πολέμου φόβος ὥσπερ γνόφος.

130 διὸ καὶ πάντων δοκεῖ χαλεπώτατον, ἐν εἰρήνῃ λόγον ὑποσχεῖν τῶν ἐν πολέμῳ πεπολιτευμένων· κρίνει γὰρ ἕκαστος πρὸς τὴν παροῦσαν ἡσυχίαν, οὐ πρὸς τὸν παρελθόντα κίνδυνον. ὅταν δέ τις ἀνέλῃ τῶν πραγμάτων τὸν καιρόν, ἀνταναιρεῖται καὶ τὸ δίκαιον τῆς πράξεως.

131 ἕκαστον τῶν ἀδικημάτων ἰδίας ἔχει τὰς οἰκονομίας· ἃ μὲν γάρ ἐστι δεόμενα τῆς 〈ἐξ〉 Ἀρείου πάγου βουλῆς, ἃ δὲ τῶν ἐλαττόνων δικαστηρίων, ἃ δὲ τῆς ἡλιαίας· πάντα δὲ ταῦτα διώρισται τοῖς ὀνόμασι τοῖς πράγμασι τοῖς χρόνοις τοῖς ἐπιτιμίοις ταῖς ἀγωγαῖς καὶ τῷ πλήθει τῶν δικαζόντων.

132 ἀδίκους οἱ συκοφάνται μου ποιοῦνται τὰς διώξεις· οὐ γὰρ βουλεύσεως ἐγκαλοῦσιν, οἷς ἀνώμοτος ἡ κακία· τοῖς δὲ δικασταῖς ἔνορκος ἡ κρίσις.

133 ἄδικος κρίσις ἀδίκου τιμωρίας ὀνόματι μόνον διαφέρει.

134 οὐ δίκαιόν ἐστι τὴν τοῦ κινδυνεύοντος σωτηρίαν ἐφόδιον γενέσθαι συκοφαντίας τοῖς πάντα τολμᾶν προῃρημένοις, οὐδὲ τὴν ἐκ τῶν λόγων κατηγορίαν ἰσχυροτέραν ἡγεῖσθαι τῆς ἐκ τῶν πραγμάτων ἀπολογίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org